Ακαδημία Αθηνών / Academy of Athens

*ε ἰ π ε ῖ ν καὶ ἀεὶ λ έ γ ε ι ν* Δημόκριτος 30 *πάντα ⟨ε ἶ π α ν⟩ Ζεὺς μυθέεται.*

**λειμών.** Λειμώνας/λιβάδι, meadow, 'Εμπεδοκλῆς 66 *σχιστοὺς λ ε ι μ ῶ ν α ς ...* '*Αφροδίτης* 121.4 *῎Ατης ἀν λ ε ι μ ῶ ν α.*

**λείπεσθαι.** 'Υπολείπομαι/ἀπομένω, be left/remain, Παρμενίδης 8.2 *μόνος δ' ἔτι μῦθος ὁδοῖο λ ε ί π ε τ α ι ὡς ἔστιν* Δημόκριτος 228 *τὸ γὰρ ἴχνιον μοῦνον λ έ λ ε ι π τ α ι τῶν ποδῶν.*

**λελιημένος.** Βλ. **λιλαίεσθαι.**

**λεπίς.** Λέπι, scale, 'Εμπεδοκλῆς 82.2 *ταὐτὰ τρίχες καὶ φύλλα καὶ οἰωνῶν πτερὰ πυκνὰ καὶ λ ε π ί δ ε ς γίγνονται ἐπὶ στιβαροῖσι μέλεσσιν.*

**λεπτὸς 1** (ἀντίθ. *πυκνός*). Λεπτὸς/λεπτοφυής, fine/thin, 'Αναξαγόρας Α 92 (DK II 28,21) καὶ γὰρ τὴν ὀσμήν ... σχεδὸν δὲ ὡς εἰπεῖν οὐκ αἰσθάνεσθαι τὰ μὲν μεγάλα (sc. ζῷα) τῆς *λ ε π τ ῆ ς ἀέρος*, τὰ δὲ μικρὰ τῆς πυκνῆς. ||(ἀντίθ. *παχύς*). Διογένης 6.50 *τὸ δ' αἷμα τὸ μὲν παχύτατον ὑπὸ τῶν σαρκωδῶν ἐκπίνεται· ὑπερβάλλον δὲ εἰς τοὺς τόπους τούτους λ ε π τ ὸ ν καὶ θερμὸν καὶ ἀφρῶδες γίνεται* **2.** λεπτοφυὴς/λεπτοΰφαντος, finely composed/finely woven, 'Εμπεδοκλῆς 84.8 *ὣς δὲ τότ' ἐν μήνιγξιν ἐεργμένον ὠγύγιον πῦρ, λ ε π τ ῇ σ ι ν ⟨τ'⟩ ὀθόνῃσι λοχάζετο κύκλοπα κούρην, ⟨αἳ⟩ χοάνῃσι δίαντα τετρήατο θεσπεσίῃσιν* **3** (συνών. *στεινός, στεινωπός*, ἀντίθ. *πλατύς, εὐρύς*). Στενός, narrow/tight, Διογένης 6.13-15-26-41-45 *σχίζεται δ' αὐτῶν ἄκρα ἑκατέρα, ἡ μὲν ἐπὶ τὸν μέγαν δάκτυλον, ἡ δ' ἐπὶ τὸν ταρσόν, ἀπὸ δὲ τούτων λ ε π τ α ὶ καὶ πολύοζοι ἐπὶ τὴν ἄλλην χεῖρα καὶ δακτύλους. ἕτεραι δὲ λ ε π τ ό τ ε ρ α ι ἀπὸ τῶν πρώτων φλεβῶν τείνουσιν... σχίζονται δὲ καὶ ἐπὶ τὴν κοιλίαν καὶ τὸ πλευρὸν πολλαὶ ἀπ' αὐτῶν καὶ λ ε π τ α ὶ φλέβες ... ἕτεραι δ' εἰσὶν αἱ ἀπὸ ἑκατέρας τείνουσαι διὰ τοῦ νωτιαίου μυελοῦ εἰς τοὺς ὄρχεις λ ε π τ α ί ... (αἱ δὲ φλέβες αἱ μὲν πρῶται ἐκ τῆς κοιλίας εὐρύτεραί εἰσιν, ἔπειτα λ ε π τ ό τ ε ρ α ι γίγνονται, ἕως ἂν μεταβάλλωσιν ἐκ τῶν δεξιῶν εἰς τὰ ἀριστερὰ καὶ ἐκ τούτων εἰς τὰ δεξιά)* **4** (συνών. *ἀκριβής*). Λεπτὸς/ἀκριβής, fine/accurate 'Αναξαγόρας 12.9 *ἔστι γὰρ* (sc. *νοῦς*) *λεπτότατόν τε πάντων χρη-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*μάτων* Δημόκριτος 11.7-9 *ὅταν ἡ σκοτίη (sc. γνώμη) μηκέτι δύνηται μήτε ὁρῆν ἐπ' ἔλαττον ... ἀλλ' ἐπὶ λ ε π τ ό τ ε ρ ο ν ⟨δέῃ ζητεῖν, τότε ἐπιγίνεται ἡ γνησίη ἅτε ὄργανον ἔχουσα τοῦ νῶσαι λ ε π τ ό τ ε ρ ο ν⟩* **5.** Ἰσχνὸς/εὔθραυστος, meagre/fragile, Δημόκριτος 276.4 *ἐνορῶ γὰρ ἐν παίδων κτήσει πολλοὺς μὲν καὶ μεγάλους κινδύνους, πολλὰς δὲ λύπας, ὀλίγα δὲ τὰ εὐθηλέοντα καὶ ταῦτα λ ε π τ ά τε καὶ ἀσθενέα.*

**λεσχηνεύεσθαι 1.** Συνομιλῶ, converse with, Ἡράκλειτος 5 *ὁκοῖον εἴ τις δόμοισι λ ε σ χ η ν ε ύ ο ι τ ο* **2.** Φλυαρῶ, chat, Δημόκριτος 85 *ὁ ἀντιλογεόμενος καὶ πολλὰ λ ε σ χ η ν ε υ ό μ ε ν ο ς.*

**λευκὸς 1** (ἀντίθ. *μέλας*). Λευκός, white, Μέλισσος 8(2) *καὶ μέλαν καὶ λ ε υ κ ὸ ν καὶ τὰ ἄλλα, ὅσα φασὶν οἱ ἄνθρωποι εἶναι ἀληθῆ* Ἐμπεδοκλῆς 33 *ὡς δ' ὅτ' ὀπὸς γάλα λ ε υ κ ὸ ν ἐγόμφωσεν καὶ ἔδησε* 68 *μηνὸς ἐν ὀγδοάτου δεκάτῃ πύον ἔπλετο λ ε υ κ ὸ ν* 96.3 *τὰ δ' ὀστέα λ ε υ κ ὰ γένοντο Ἁρμονίης κόλλησιν ἀρηρότα θεσπεσίηθεν* Ἀναξαγόρας 22 *τὸ καλούμενον... ὄρνιθος γάλα τὸ ἐν τοῖς ᾠοῖς ... λ ε υ κ ὸ ν* **2.** Λαμπερός, bright, Ἐμπεδοκλῆς 21.3 *ἠέλιον μὲν λ ε υ κ ὸ ν ὁρᾶν καὶ θερμὸν ἁπάντῃ, ἄμβροτα δ' ὅσσ' εἴδει τε καὶ ἀργέτι δεύεται αὐγῇ.*

**λεύσειν** (συνών. *ὁρᾶν*). Βλέπω/θεῶμαι, see, Παρμενίδης 4.1 *λ ε ῦ σ σ ε δ' ὅμως ἀπεόντα νόῳ παρεόντα βεβαίως* Ἐμπεδοκλῆς 129.5 *ὁππότε γὰρ πάσῃσιν ὀρέξαιτο πραπίδεσσιν, ῥεῖ' ὅ γε τῶν ὄντων πάντων λ ε ύ σ σ ε σ κ ε ν ἕκαστον καί τε δέκ' ἀνθρώπων καί τ' εἴκοσιν αἰώνεσσιν.*

**λήγειν.** Λήγω/παύω, cease/stop, Ἐμπεδοκλῆς 17.6-12 *καὶ ταῦτ' ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λ ή γ ε ι ... ᾗ δὲ διαλλάσσοντα διαμπερὲς οὐδαμὰ λ ή γ ε ι* 26.11 *ᾗ δὲ τάδ' ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λ ή γ ε ι.* Πρβλ. *ἀπολήγειν.*

**Λήθη.** Λήθη/λησμοσύνη, oblivion/forgetfulness, Δημόκριτος 196 *λ ή θ η τῶν ἰδίων κακῶν θρασύτητα γεννᾷ.*

**ληναΐζειν.** Ἑορτάζω τὰ Λήναια/βακχεύω, celebrate the Lenaia/act with frenzy, Ἡράκλειτος 15 *ὡυτὸς δὲ Ἀίδης καὶ Διόνυσος, ὅτεῳ μαίνονται καὶ λ η ν α ΐ ζ ο υ σ ι ν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ